τῶν τιμίων καὶ ἐπουρανίων δυνάμεων
ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου
προφήτου προδρόμου καὶ βαπτιστοῦ
Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πα-
νευφήμων ἀποστόλων· τοῦ ἐν ἁγίοις
πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυμα-
τουργοῦ Νικολάου· τοῦ ἁγίου τοῦ
ναοῦ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ
πάντων σου τῶν ἁγίων· ἱκετεύομέν σε
πολυέλεε κύριε· ἐπάκουσον ἡμῶν τῶν
ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέη-
σον ἡμᾶς:· τὸ κύριε ἐλέησον μ' :·

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων
καὶ θεοφυλάκτων βασιλέων· κρά-
τους νίκης διαμονῆς εἰρήνης,
ὑγείας σωτηρίας αὐτῶν· καὶ τοῦ κύριον
θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι· καὶ
κατευοδῶσαι αὐτοῖς ἐν πᾶσι· καὶ ὑ-
ποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάν-
τα ἐχθρὸν καὶ πολέμιον:· τὸ κύριε ἐλέησον λ':·